τῆς δ' ὡς ἀπὸ θ——— ὀσφύδος. Ὅσιον, οὐχ ὅσ—— Ἀριστοφάνης Ἀχαρνεῦσι. Ὀσοῦν, διασυλλάβειν, οὐχ ὁστισοῦν λέγ-
ουσιν οἱ Ἀττικοί. ὀστολογεῖν, ὀστᾶ συλλέγειν. ὀστολόγος παρὰ Ἐπιλύκῳ, καὶ ὀστολόγοι Αἰσχύλῳ—— ὀστολόγοι. Ὀστράκων, τῶν τοῦ
ὀστέου(?) Αἰσχύλος. Ὀστρακίνδα, παιδιὰ ἡ ἐπὶ ὀστράκου. Ὀστράκου περιστροφή, παροιμία ἐπὶ τῶν ταχέως τι ποιούντων λεγομένη.
Ὀστρακισμοί, οἱ κακονοήσαντες τῷ δήμῳ ἐξωστρακίζοντο καὶ κατεδικάζοντο ὀστράκοις ἐπιγραφόντων τὸ ὄνομα τοῦ
φυγαδευομένου. Ὀστρακισμὸς καὶ ἐξοστρακισμός, φυγῆς ἐστὶν εἶδος ὀνομασθὲν ἐκ τοῦ εἰς ὄστρακον ἐπιγράφειν ἕκαστον τῶν
Ἀθηναίων εἴ τις αὐτοῖς ἐνομίζετο πρέπειν μεθίστασθαι τῆς πόλεως. Ὄστρεα σὺν τῷ ι μᾶλλον. Ὄστριμα, περίβολος κτηνῶν
καὶ οἷον ἔπαυλις Ἀντίμαχος Θηβαῖος, εἰς ὄστριμον ἐξήλασεν. Ὀσφραίνεσθαι λέγουσιν οὐ(?) ὀσμᾶσθαι(?). Ὄχη τὸ σὺν τοῖς
βότρυσι κλῆμα. Ὠσχοφορεῖν, ἑορτή τις ὠσχοφορία καλουμένη. Ὄχοι γὰρ καλοῦνται κλήματα ἐκκειμένους ἔχοντα τοὺς
βότρυας. Εὐγενεῖς παῖδες ἔφερον εἰς τὸ ἱερὸν Σκιράδος. Ὁ τρόπος δι' ὃν τοῦτο ἐγίνετο διαφόρως τοῖς παλαιοῖς ἀποδέδο-
ται(?). ὠσχοφόροι δύο ἦσαν τῷ γένει καὶ πλούτῳ διαφερόντων. ἡ δὲ ὄχη κλῆμά ἐστι βότρυς ἐξηρτημένους ἔχον. ταύτην δὲ ἔνιοι
ὀρχάδα καλοῦσιν. ὅτ' ἂν ᾖ, πάνυ μὲν ᾖ. ὅτι νόμος ἐστίν, ὑπὲρ μὲν τεσσαράκοντα ἔτη γενόμενον χορηγεῖν παισίν.
ὅτι ξένους τινὰς ἑαυτοῦ αἰχμαλώτους ἀπολυσάμενος(?) ἐν τῷ Φιλίππου ἀμπελουργίῳ καὶ δεομένους παρὰ τούτου ἐξῃτήσατο,
παρὰ Φιλίππου Σάτυρος. Αἰσχίνης μὲν ἐν τῷ περὶ παραπρεσβείας φησίν. ὁ δὲ Δημοσθένης ἐν τῷ κατ' Αἰσχίνου λέγ-
ει, ὅτι τὰς Ἀπολλοφάνους θυγατέρας ἐξῃτήσατο, καὶ ἔοικεν μᾶλλον ἀληθεύειν. καὶ γὰρ Ἀριστοτέλης ἔν τινι τῶν
πρὸς Φίλιππον ἐπιστολῶν λέγει, Σατύρῳ τῷ ὑποκριτῇ τὰς Ἀπολλοφάνους θυγατέρας ἀφῆκεν. Ὅτι οἱ ἁλόντες ἐπ'
ἀκουσίῳ φόνῳ εἶχον εἰς διοίκησιν τῶν ἰδίων. Δημοσθένης τε ἐν τῷ κατ' Ἀριστοκράτους ὑποσημαίνει, καὶ Θεόφραστος
ἐν τῷ ιγ τῶν νόμων. Ὅτι οἱ ποιητοὶ παῖδες ἐπανελθεῖν εἰς τὸν πατρῷον οἶκον οὐκ ἦσαν κύριοι εἰ μὴ παῖδας γνη-
σίους καταλίποιεν ἐν τῷ οἴκῳ τοῦ ποιησαμένου. Ὅτι τὰ ἐπικηρυττόμενά ποι χρήματα ἐπὶ τῶν βωμῶν ἐτίθετο.
Ὅτι πρὸς τὴν φυλὴν τοῦ κτησαμένου αἱ περὶ τοὺς δούλους λαγχάνοντα δίκαι. Ὅτι παισὶ καὶ γυναιξὶ οὐκ ἐξῆν ἐμ-
βάλλειν πέρα μεδίμνου κριθῶν. Ὅτι χιλίας ἐζημιοῦντο αἱ κατὰ τὰς ὁδοὺς ἀκοσμοῦσαι γυναῖκες. Ὅτι ποτε ἀντὶ τοῦ
ποτέ. ~~Ὀτλεῖ~~ Ὀτλεῖ ὁ πόνος, καὶ ὁ μόχθος καὶ ὀτλεῖν τὸ μοχθεῖν. Ὄτοβος, θόρυβος ὁ τῶν ὅπλ—— τυριῶν(?) χαλκοῦ χαλκέων(?).
Ὅτου χάριν, τίνος ἕνεκεν. Ὀτρυρός(?), ταχύς, ὀξύτατος, δραστήριος. Ὀτρυφάγλον τὸν κριθοφάγον. Ἀρχίλοχος κατὰ × Suid. habet ὀτία κληδών.
πλεονασμὸν τοῦ ο. Τρύγη γὰρ Δημήτριος καρπός. Ὀτρύνοντες κελεύοντες. Ὄττα, φήμη μαντικὴ ὅθεν καὶ κληδὼν
καὶ ὀττεύεσθαι τὸ μαντεύεσθαι, ὁ τυχὼν ὁ παρατυχών. λέγουσι δηλοῦντες τὴν προπάθειαν καὶ τὸ φιλόστατον
δηλοῦσθαι ὁ τυχών. οὕτω γὰρ φίλον ὅ τινι ἀρέσκει. Οὐ γὰρ ἄκερδος(?), λεγόμενον ἐπὶ τῶν ὠφελίμων ἀπὸ τοῦ
τοῦ βίου εἰς ἡμερώτερον μεταβολῆς. Οὐδαμῇ, ἀντὶ τοῦ οὐδαμόθι. Τηλεκλείδης Ἡσιόδῳ. Οὐδαμῶς, οὐδέποτε
Ἀριστοφάνης. Οὐδαμῶς, κατ' οὐδένα τρόπον. οὐδ' ἀπὸ γῆς ἄνωθεν(?), ἐπὶ ἐξελκύσαι(?). Οὐδὲ Ἡρακλῆς πρὸς δύο. καὶ γὰρ Μο-
λιονίδας ἔγημε. Δίων δὲ ἐν β τῆς δευτέρας συντάξεως Ἡρακλέα τὸν Ἰδαῖον δάκτυλον καταλείψαντα Ὀλύμ-
πια πρὸς β διαπυκτεύσαντα ἡττηθῆναι. Οὐδεὶς δυσώπης(?) χρηστὸν ὄψον ἢ κρέας. Οὐδεὶ οἱ παλαιοὶ διὰ τοῦ δ, οἱ
δὲ νεώτεροι διὰ τοῦ θ ἔλεγον. Οὐδεὶς κομήτης ὅστις οὐ περαίνεται. Οὐδεὶ ἐλθεῖν(?). Οὐδὲν ἀπὸ τρόπου ἀντὶ τοῦ
ἀττικοὶ Ἀττικοί. Οὐδένες τὸ πληθυντικὸν τοῦτο σύνηθες τοῖς παλαιοῖς, καὶ οὐδένων, καὶ οὐδέσι, καὶ οὐδένας.
Οὐδ' ἐν δέρματι, ἀντὶ τοῦ γυμνοῦ, ὑπερβολικῶς. Οὐδὲν γὰρ οἷον ἀκούειν αὐτοῦ τοῦ νόμου. Οὐ γὰρ τρι-
τον ἐγὼ δύναμαι, ὑπὲρ ὅσον ὁ νόμος. Οὐδὲν ἱερόν. Ἡρακλῆς ὅτε Ἀδώνιδος ἰδὼν ξόανον, ὡς τῶν ἐν-
ερμητευσάντων τοὺς ἀνθρώπους μόνων ἀφιλόντων τριάδας. Ἢ ὅτι οἱ καταφυγόντες εἰς αὐτὸ δῆλοι ἀσῶν(?)
οὐκ εἶχον. Οὐδὲν λευκὸν ἄνθρωπον ὄφελος(?). Οὐδὲν πρὸς ἔπος. Οὐδὲν πρὸς Διόνυσον Ἐπιγένους τοῦ Σικυωνίου
τραγῳδίαν εἰς αὐτὸν ποιήσαντος ἐπεφώνησέ τινες τοῦτο, ὅθεν ἡ παροιμία. Βέλτιον δὲ οὕτω. Τὸ πρόσθεν εἰς τὸν Δι-
όνυσον γράφοντες. Τούτοις ἀγωνιζόμενοι ἔπη καὶ Σατυρικὰ ἐλέγετο. Ὕστερον δὲ μεταβάντες εἰς τραγῳδίαν γρά-
φειν κατὰ μικρὸν εἰς μύθους καὶ ἱστορίας ἐτράποντο μηκέτι τοῦ Διονύσου μνημονεύοντες, ὅθεν καὶ ἐπεφώνησαν. Καὶ Χαμαιλέων
ἐν τῷ περὶ Θέσπιδος τὰ παραπλήσια ἱστορεῖ. Θεαίτητος δὲ ἐν τῷ περὶ παροιμιῶν, πρῶτόν φησιν Ἐπιγένους ἀγωνιζό-
μενον παρὰ Κορινθίοις ποιῆσαι Διόνυσον κάλλιστον. τοὺς δ' ὁρῶντας τά τε τῶν ἀγωνιστῶν ἔργα, ἃ κατὰ πολὺ ἐλείπετο, καὶ
τὸν τοῦ Παρρασίου Διόνυσον ἐπιφωνεῖν. Τί πρὸς τὸν Διόνυσον, ἐπὶ τῶν τὰ μὴ προσήκοντα τοῖς ὑποκειμένοις φλυαρούντων. × Suid. ponit τὴν ἀρχὴν ἐμβεβηκότων(?)
Οὐδ' ἐν σελίνοις, ἐπὶ τῶν × μηδ' ἐπὶ τὴν ἀρχὴν ἐμβεβηκότων(?), ἀπὸ τῶν ἐπὶ τοὺς κήπους ἰόντων. Ἐπὶ γὰρ τὰ ἄκρα τοῖς λιθο-
μένοις περιμηκέσι σέλινα καὶ πήγανα κατεφύτευον. Βέλτιον οὖν λέγειν ἡ παροιμία. Οὔπω οὐδὲ ~~ἀρχὴν~~ ἀρχὴν ἔχεις τοῦ πράγ-
ματος, καθάπερ οὐδὲ οἱ ἐν τοῖς κήποις εἰσιόντες ἐν τοῖς σελίνοις εἰσί. Οὐδὲ φροντὶ δίκαιον ἐστὶν(?) ἀνήρ, οὐδὲ συκοφάν-
της, ὅταν πολλοὶ ἀποθάνωσι βουλόμεθα τοὺς τελευτήσαντας λέγομεν, ὅτι οὐδὲ συκοφάντης ὑπελείφθη, οἷον οὐδὲ ὁ
τὸ πῦρ οἴσων εἰς τὴν πόλιν. καθάπερ εἰ ἐλέγομεν, οὐδὲ σκηνοφύλαξ ἤ τις τῶν παραπλησίων. Οὐδέ τ' ἄχθεσθαι(?)
ποιεῖ, ἐπὶ τῶν μὴ λυσιτελούντων. Ὁ δ' ὄξος(?) κριθήν, ἐπὶ τῶν ἐλαχίστων. Οὖδας, γῆ, βατής, τὸ κάτω τῆς θύρας
ἢ ἔδαφος, ἢ βάθρον. Οὐδ' ὑφ' ἑνὸς Ἀττικοί, ἀντὶ τοῦ ὑφ' οὐδενὸς λέγουσιν ὑπερβιβάζοντες. Οὐ δι' ὡς, οὐδαμῶς.
Οὔθαρ, τὸ γονιμώτατον μέλος. Οὔθατα οἱ μαστοὶ τῶν προβάτων. Οὐκ ἀθεεί, οὐ χωρὶς θείας προνοίας. Οὐ κα-
θέστηκεν ἢ νήφει, μαίνεται ἢ ἄλλως ποιεῖται, ἀντὶ τοῦ ἢ μάτην. Οὐκ ἂν δύναιο φαγῆς πενθοῦσιν(?) νεκρόν.
Οὐ καλῶς ἀντὶ τοῦ κακῶς. Οὐκ ἂν εἴδω(?), οὐκ ἂν εἰδείην(?). Οὐκ εἰσδύσομαι, οὐ προσποιήσομαι. Οὐκ ἀπὸ τρόπου,
οὐ πόρρω τρόπου. Οὐ κατὰ κόσμον, οὐ κατὰ τὸ πρέπον. Οὐκ ἀνθρώπινον(?) τὴν μάχαιραν παρακονῶν. Οὐκ
ἀσκίῳ, ἀντὶ τοῦ κενοῦ. Ἀσκίοις γὰρ τὰ παιδία—— Οὐκ ἀποτευκτής, οὐκ ἀποτεύξῃ λέγουσι, καὶ οὐκ ἀτυχήσεις. Οὐκ
ἀποβάλλεκτοι(?), οὐκ ἀχρότητος, οὐδὲ ἀράπιστος(?). Οὐκ ἄτεχνος(?), ὁ τραχύς. Οὐκ ἐμπόνηρον, οὐ δόκιμον. Οὐκ ἐκφρόσιν(?)
οὐκ ἐξαφρόσιν. Σοφοκλῆς. Οὐκ ἐντελεῖ, ἀντὶ τοῦ οὐκ ἐγκαλέσεις. Οὐκ ἐγγλωττίσομαι(?), οὐ βλασφημήσω. Οὐκ
ἐπαινεθείης, οὐδ' ἐν περιδείπνῳ, ἐπὶ τῶν μηδενὸς ἀξίων ἡ παροιμία. Εἰώθεσαν γὰρ ἐν τοῖς περιδείπνοις τὸν
τελευτήσαντα ἐπαινεῖν, καὶ εἰ φαῦλος ἦν. Οὐκ ἐπὶ τῇ αὐτῇ ὁρμῇ τοῖς πολλοῖς. Δημοσθένης ἐν τῷ ὑπὲρ Κτη-
σιφῶντος. Παροιμία ἐστὶν ἐλλιπῶς εἰρημένη. Προσυπακουστέον δὲ ἔξωθεν τὸ ἐληλύθεις(?). Οὐκ ἐσκοράκισεν(?)
οὐκ ὀνειδίζει, οὐκ εἰς κόρακας, ἀλλ' οἷον οὐχ ὑπερηφάνησεν, οὐκ ἐξεμυκτήρισε(?). Οὐκ ἐς μακρὰν ἀντὶ τοῦ ταχέως, οὐκ εἰς
οὐκ ἀπεικότως, ἢ ὑμέτερον(?) παρὰ τὸ ἐτώσιον, ὅ ἐστι μάταιον. Διὸ δὲ οὐκ ἄλογος. Οὐκοῦν, οὐδαμῶς, οὐκ ὠφέλει(?)
οὐ βλάπτει. Σοφοκλῆς ἐν ἐπὶ Ταινάρῳ Σατύροις. Οὐλάδες, πηγαί. Οὐλαμός, ἀπὸ τοῦ ἴλλω, καὶ ὕλη ἀπὸ τοῦ αὐτοῦ.
Οὐλαί(?) θεᾶσι(?) φανεροί τισιν. Οὐλή, ἐπιπόλαιον ἕλκος εἰς ὁμαλὸν ἥκον. Οὐλοκόμος, Ἄλεξις. Οὐλότριξ, οὐχὶ
οὐλότριχος, καὶ οὐλότριχα, οὐχὶ οὐλότριχον. Οὖλον, ἁπαλόν, μαλακόν. Οὐ μάλα κυκκᾶ τὸ μινυθέν(?). Οὐ μάλα
κυκκᾶ, παροιμία, οὐδὲν γρυ—— Οὐ μὲν δή, ἀντὶ τοῦ ὅμως δὴ ἥκιστα, ἀλλ' οὐ δή. Οὐ μηκέτι, ἀντὶ τοῦ
οὐκέτι. Μένανδρος. Οὐ μὴ διέξεις, ἀντὶ τοῦ παῦσαι λέγων. Οὐ μήν, ἀλλὰ μήν. Οὐδαμῶς οὐ μόνον ἢ ἐστι
μήν. ὅμως δέ. Οὗ, ἑαυτοῦ, οὗ δὲ ἑαυτοῦ ὑπαντοῖ ἀνδρὸς εἰς Κόρινθον. Ζ Θ ὁ πλοῦς, διὰ τὸ τὰς ἑταίρας
ὑπὲρ τῶν Ἑλλήνων εὔξασθαι φασὶν ἐν τῷ μεγάλῳ πολέμῳ τῇ Ἀφροδίτῃ. Ἢ διὰ τὸ δυσείσβολον εἶναι τὸν λιμέ-
Ἢ ἐπεὶ πολλαὶ ἦσαν ἑταῖραι, καὶ πλουσίων μόνον ὁ πλοῦς. Οὐ παρὴν(?) οὐ παρῆν(?). Οὔπω, ταυτὸν τῷ οὐδέποτε.
Οὐραγεῖ τὸ τέλος ἄγει τοῦ στρατοῦ. Οὔπως, οὐδένα τρόπον. καὶ Θουκυδίδης ἐν ζ καὶ Ὅμηρος. Οὐ φέρονται(?)
πῶς τοῦτο ἐγὼ τελεῖσθαι οἶδα. Οὐραγίαν στρατιάν τὴν ὄπισθεν ἀκολουθοῦσαν. Οὐ φαύλως ἀντὶ τοῦ κακῶς. Θου-
κυδίδης. Ἀριστογείτων ὕστερον ληφθεὶς οὐ ῥᾳδίως διετέθη. Ἁρμόδιος δὲ αὐτοῦ παραχρῆμα ἀπόλλυται.
Οὐρανία αἴξ, ἣν οἱ εὐχόμενοι πάντων ἐπετύγχανον. Ἴσως γὰρ διὰ τὸ τὴν σελήνην αὐτῇ ἐποχεῖσθαι. Κρα-
τῖνος Χείρωσιν. αἴξ οὐρανία. Οὐράνιον, μέγα. Οὐράνιον παιδιάν, ὅταν τὴν σφαῖραν εἰς τὸν οὐρανὸν ἀνα-
βάλλουσιν. Οὐρανίζεται, πρὸς τὸν οὐρανὸν δικνεῖται. Αἰσχύλος. Οὐράνιον ἄχος, τὸν κονιορτόν. Σοφοκλῆς. Οὐρά-
νιον νέφος, ἤτοι τὸ κατ' οὐρανὸν ἢ ὑπ' οὐρανὸν ἐλαυνόμενον. Οὐρεῖν αἰδοῖον(?) Σοφοκλῆς. Οὐρητιᾶν ὁμοίως
ἡμεῖν(?) λέγουσιν. Οὔρια πλεῖν λέγουσιν. Οὐρίσαι, ἀποκαταστῆσαι τὶς οὔριον. Οὔριος ἐπιδέξιος, ἐπιτήδειος ἄνεμος.
Οὐροδόκην, τὴν ἀμίδα. Ξενοφῶν. Οὔριον δὲ εἶκον(?) Ἀντιφάνης. Οὖρος ὁ τῆς γῆς ὅρος καὶ φύλαξ. Οὖρος, ὀξυ-
τόνως, τὰ νεώρια καὶ περιορίσματα τῶν νεῶν. Οὐσίας δίκη, οἱ δικαζόμενοι περὶ χωρίων ἢ οἰκιῶν πρὸς τοὺς ἔχον-
τας οὐσίας ἐδικάζοντο τὴν δευτέραν δίκην. Ἡ δὲ προτέρα ἦν τῶν μὲν οἰκιῶν ἐνοικίου, τῶν δὲ χωρίων, καρποῦ,
τρίτη δὲ ἐπὶ τούτων ἐξούλης. καὶ ἐξῆν τοῖς ἑλοῦσι κρατεῖν τῶν κτημάτων καὶ τὴν δίκην τοῦ καρποῦ ἢ τοῦ ἐνοικίου.

http://digital.slub-dresden.de/ppn346246385/54